15/03/2022

Απόδειπνο – Ευχή εις τον Κύριον ημών Ιησού Χριστό

/ Πνευματικά Αποσπάσματα



Καὶ δὸς ἡμῖν, Δέσποτα, πρὸς ὕπνον ἀπιοῦσιν, ἀνάπαυσιν σώματος καὶ ψυχῆς·

καὶ διαφύλαξον ἡμᾶς ἀπὸ τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας,

καὶ ἀπὸ πάσης σκοτεινῆς καὶ νυκτερινῆς ἡδυπαθείας.

Παῦσον τὰς ὁρμὰς τῶν παθῶν,

σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ, τὰ καθ᾽ ἡμῶν δολίως κινούμενα·

τὰς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις κατάστειλον,

καὶ πᾶν γεῶδες καὶ ὑλικὸν ἡμῶν φρόνημα κοίμησον.

Καὶ δώρησαι ἡμῖν, ὁ Θεός, γρήγορον νοῦν, σώφρονα λογισμόν, καρδίαν νήφουσαν,

ὕπνον ἐλαφρόν, καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον.

Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς, ἑστηριγμένους ἐν ταῖς ἐντολαῖς

σου,

καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντας.

Παννύχιον ἡμῖν τὴν σὴν δοξολογίαν χάρισαι εἰς τὸ ὑμνεῖν, καὶ εὐλογεῖν, καὶ δοξάζειν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Η μετάφραση:

Καὶ δῶσε μας, Κύριε, τώρα ποὺ πρόκειται νὰ κοιμηθοῦμε, ἀνάπαυση στὸ σῶμα καὶ στὴν ψυχή μας·

καὶ διαφύλαξέ μας ἀπὸ τὸν σκοτεινὸ ὕπνο τῆς ἁμαρτίας κι ἀπὸ κάθε σκοτεινὴ καὶ νυκτερινὴ ἡδονὴ ποὺ διεγείρει τὰ πάθη μας.

Παῦσε τὶς ὁρμὲς τῶν παθῶν,

σβῆσε τὰ πύρινα βέλη (τοὺς πειρασμοὺς) ποὺ τοξεύει μὲ δολιότητα ἐναντίον μας ὁ πονηρός.

Κατάστειλε τὶς σαρκικὲς ὁρμές μας καὶ ἀποκοίμησε κάθε γήινη καὶ ὑλικὴ (μάταιη) ἐπιθυμία μας.

Δώρισέ μας, Θεέ μας, ἄγρυπνο νοῦ, καθαρὸ λογισμό, καρδιὰ προσεκτική,

ὕπνο ἐλαφρό, ἀπαλλαγμένο ἀπὸ κάθε δαιμονικὴ φαντασία.

Μὲ προθυμία νὰ σηκωθοῦμε ὅταν ἔλθει ἡ ὥρα τῆς προσευχῆς, στηριγμένοι στὶς ἐντολές Σου

καὶ ἔχοντας σταθερὴ μέσα μας τὴν ἐνθύμηση τῶν προσταγμάτων Σου.

Χάρισέ μας τὴν ὁλοπρόθυμη διάθεση τῆς ὁλονύχτιας δοξολογίας Σου, γιὰ νὰ ὑμνοῦμε καὶ εὐλογοῦμε καὶ δοξάζουμε τὸ ἀξιότιμο καὶ μεγαλόπρεπο ὄνομά Σου, τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, τώρα καὶ σὲ κάθε στιγμὴ καὶ στοὺς ἀπέραντους αἰῶνες. Ἀμήν.